12 καὶ τὴν Ροωβωθ πόλιν καὶ τὴν Χαλαχ [12]καὶ τὴν Δασεμ ἀνὰ μέσον
13 Νινευη καὶ ἀνὰ μέσον Χαλαχ· αὕτη ἡ πόλις ἡ μεγάλη. — [13]καὶ Μεσ-
ραιμ ἐγέννησεν τοὺς Λουδιιμ καὶ τοὺς Ενεμετιιμ καὶ τοὺς Λαβιιμ
14 καὶ τοὺς Νεφθαλιιμ [14]καὶ τοὺς Πατροσωνιιμ καὶ τοὺς Χασλωνιιμ,
15 ὅθεν ἐξῆλθεν ἐκεῖθεν Φυλιστιιμ, καὶ τοὺς Καφθοριιμ. — [15]Χανααν
16 δὲ ἐγέννησεν τὸν Σιδῶνα πρωτότοκον καὶ τὸν Χετταῖον [16]καὶ τὸν
17 Ιεβουσαῖον καὶ τὸν Αμορραῖον καὶ τὸν Γεργεσαῖον [17]καὶ τὸν Ευαῖον
18 καὶ τὸν Αρουκαῖον καὶ τὸν Ασενναῖον [18]καὶ τὸν Ἀράδιον καὶ τὸν
Σαμαραῖον καὶ τὸν Αμαθι. καὶ μετὰ τοῦτο διεσπάρησαν αἱ φυλαὶ
19 τῶν Χαναναίων, [19]καὶ ἐγένοντο τὰ ὅρια τῶν Χαναναίων ἀπὸ
Σιδῶνος ἕως ἐλθεῖν εἰς Γεραρα καὶ Γάζαν, ἕως ἐλθεῖν Σοδομων
20 καὶ Γομορρας, Αδαμα καὶ Σεβωιμ, ἕως Λασα. — [20]οὗτοι υἱοὶ Χαμ ἐν
ταῖς φυλαῖς αὐτῶν κατὰ γλώσσας αὐτῶν ἐν ταῖς χώραις αὐτῶν
καὶ ἐν τοῖς ἔθνεσιν αὐτῶν.
21 [21]Καὶ τῷ Σημ ἐγενήθη καὶ αὐτῷ, πατρὶ πάντων τῶν υἱῶν Εβερ,
22 ἀδελφῷ Ιαφεθ τοῦ μείζονος. [22]υἱοὶ Σημ· Αιλαμ καὶ Ασσουρ καὶ
23 Αρφαξαδ καὶ Λουδ καὶ Αραμ καὶ Καιναν. [23]καὶ υἱοὶ Αραμ· Ως καὶ
24 Ουλ καὶ Γαθερ καὶ Μοσοχ. [24]καὶ Αρφαξαδ ἐγέννησεν τὸν Καιναν,
25 καὶ Καιναν ἐγέννησεν τὸν Σαλα, Σαλα δὲ ἐγέννησεν τὸν Εβερ. [25]καὶ τῷ
Εβερ ἐγενήθησαν δύο υἱοί· ὄνομα τῷ ἑνὶ Φαλεκ, ὅτι ἐν ταῖς ἡμέραις
26 αὐτοῦ διεμερίσθη ἡ γῆ, καὶ ὄνομα τῷ ἀδελφῷ αὐτοῦ Ιεκταν. [26]Ιεκταν
δὲ ἐγέννησεν τὸν Ελμωδαδ καὶ τὸν Σαλεφ καὶ Ασαρμωθ καὶ Ιαραχ
27 28 [27]καὶ Οδορρα καὶ Αιζηλ καὶ Δεκλα [28]καὶ Αβιμεηλ καὶ Σαβευ
29 [29]καὶ Ουφιρ καὶ Ευιλα καὶ Ιωβαβ. πάντες οὗτοι υἱοὶ Ιεκταν.
30 [30]καὶ ἐγένετο ἡ κατοίκησις αὐτῶν ἀπὸ Μασση ἕως ἐλθεῖν εἰς Σωφηρα,
31 ὄρος ἀνατολῶν. [31]οὗτοι υἱοὶ Σημ ἐν ταῖς φυλαῖς αὐτῶν κατὰ
γλώσσας αὐτῶν ἐν ταῖς χώραις αὐτῶν καὶ ἐν τοῖς ἔθνεσιν αὐτῶν.
32 [32]Αὗται αἱ φυλαὶ υἱῶν Νωε κατὰ γενέσεις αὐτῶν κατὰ τὰ ἔθνη
αὐτῶν· ἀπὸ τούτων διεσπάρησαν νῆσοι τῶν ἐθνῶν ἐπὶ τῆς γῆς
μετὰ τὸν κατακλυσμόν.
11 [1]Καὶ ἦν πᾶσα ἡ γῆ χεῖλος ἕν, καὶ φωνὴ μία πᾶσιν. [2]καὶ ἐγέ-
νετο ἐν τῷ κινῆσαι αὐτοὺς ἀπὸ ἀνατολῶν εὗρον πεδίον ἐν γῇ Σεν-
3 νααρ καὶ κατῴκησαν ἐκεῖ. [3]καὶ εἶπεν ἄνθρωπος τῷ πλησίον Δεῦτε
πλινθεύσωμεν πλίνθους καὶ ὀπτήσωμεν αὐτὰς πυρί. καὶ ἐγένετο
αὐτοῖς ἡ πλίνθος εἰς λίθον, καὶ ἄσφαλτος ἦν αὐτοῖς ὁ πηλός.
4 [4]καὶ εἶπαν Δεῦτε οἰκοδομήσωμεν ἑαυτοῖς πόλιν καὶ πύργον, οὗ
ἡ κεφαλὴ ἔσται ἕως τοῦ οὐρανοῦ, καὶ ποιήσωμεν ἑαυτοῖς ὄνομα

11 ροωβως A† | την ult. 911] > A || 13 και τ. νεφθ. post λουδ. tr. A† || 14 χασμωνιειμ A† | καφθ. 911] χαφθ. A || 19 των M] > A | σοδομων] pr. εως A† | λασα 911] δασα A || 24 καιναμ bis A || 26 και $2^0$ 911] + τον A | ιαραδ A† || 30 μασσηε A† || 31 υιοι M] pr. οι A

11 4 εαυτοις $2^0$ 911] -των A